# 52. PARABLES BY THE SEA (Matt-Lk Identicals)

| Matt 13:1-9 | Lk 8:4-8 |
|---|---|
| Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν | |
| ὁ Ἰησοῦς τῆς οἰκίας | |
| ἐκάθητο παρὰ τὴν θάλασσαν· | |
| 2 καὶ συνήχθησαν | Συνιόντος δὲ |
| πρὸς αὐτὸν | |
| ὄχλοι πολλοί, | ὄχλου πολλοῦ καὶ |
| | τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν |
| ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα | |
| καθῆσθαι, | |
| καὶ πᾶς ὁ ὄχλος | |
| ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. | |
| 3 καὶ ἐλάλησεν αὐτοῖς | εἶπεν |
| πολλὰ ἐν παραβολαῖς | διὰ παραβολῆς, |
| λέγων, | |
| Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων | 5 Ἐξῆλθεν ὁ σπείρων |
| τοῦ σπείρειν. | τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. |
| 4 καὶ ἐν τῷ σπείρειν αὐτὸν | καὶ ἐν τῷ σπείρειν αὐτὸν |
| ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, | ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, |
| | καὶ κατεπατήθη |
| καὶ ἐλθόντα τὰ πετεινὰ | καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ |
| κατέφαγεν αὐτά. | κατέφαγεν αὐτό. |
| 5 ἄλλα δὲ ἔπεσεν | 6 καὶ ἕτερον κατέπεσεν |
| ἐπὶ τὰ πετρώδη | ἐπὶ τὴν πέτραν, |
| ὅπου οὐκ εἶχεν γῆν πολλήν, | |
| καὶ εὐθέως ἐξανέτειλεν | |
| διὰ τὸ μὴ ἔχειν βάθος γῆς. | |
| 6 ἡλίου δὲ ἀνατείλαντος | καὶ φυὲν |
| ἐκαυματίσθη | |
| | ἐξηράνθη |
| καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν | διὰ τὸ μὴ ἔχειν ἰκμάδα. |
| ἐξηράνθη. | |
| 7 ἄλλα δὲ ἔπεσεν | 7 καὶ ἕτερον ἔπεσεν |
| ἐπὶ τὰς ἀκάνθας, | ἐν μέσῳ τῶν ἀκανθῶν, |
| καὶ ἀνέβησαν αἱ ἄκανθαι | καὶ συμφυεῖσαι αἱ ἄκανθαι |
| καὶ ἔπνιξαν αὐτά. | ἀπέπνιξαν αὐτό. |

| Matt 13:1-9 | Lk 8:4-8 |
|---|---|
| *8 ἄλλα δὲ ἔπεσεν* | *8 καὶ ἕτερον ἔπεσεν* |
| *ἐπὶ τὴν γῆν τὴν καλὴν* | *εἰς τὴν γῆν τὴν ἀγαθήν,* |
| | *καὶ φυὲν* |
| *καὶ ἐδίδου καρπόν,* | *ἐποίησεν καρπὸν* |
| *ὃ μὲν ἑκατόν,* | *ἑκατονταπλασίονα.* |
| *ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα.* | |
| | *ταῦτα λέγων ἐφώνει,* |
| *9 ὁ ἔχων ὦτα ἀκουέτω* | *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* |

215 total words with 72 identicals = 33%